σῴζουσα, πασῶν Δελφίδων ἐξαίρετος.
ΙΩΝ. χαῖρ᾽, ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ.
ΠΥ. ἀλλ᾽ οὖν λεγόμεσθ᾽· ἡ φάτις δ᾽ οὔ μοι πικρά.
ΙΩΝ. ἤκουσας ὥς μ᾽ ἔκτεινεν ἥδε μηχαναῖς;
ΠΥ. ἤκουσα· καὶ σὺ δ᾽ ὠμὸς ὢν ἁμαρτάνεις.
ΙΩΝ. οὐ χρή με τοὺς κτείνοντας ἀνταπολλύναι;
ΠΥ. προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.
ΙΩΝ. ἡμεῖς δὲ μητρυιαῖς γε πάσχοντες κακῶς.
ΠΥ. μὴ ταῦτα· λείπων ἱερὰ καὶ στείχων πάτραν
ΙΩΝ. τί δή με δρᾶσαι νουθετούμενον χρεών;
ΠΥ. καθαρὸς Ἀθήνας ἔλθ᾽ ὑπ᾽ οἰωνῶν καλῶν.
ΙΩΝ. καθαρὸς ἅπας τοι πολεμίους ὃς ἂν κτάνῃ.
ΠΥ. μὴ σύ γε· παρ᾽ ἡμῶν δ᾽ ἔκλαβ᾽ οὓς ἔχω λόγους.
ΙΩΝ. λέγοις ἄν· εὔνους δ᾽ οὖσ᾽ ἐρεῖς ὅσ᾽ ἂν λέγῃς.
ΠΥ. ὁρᾷς τόδ᾽ ἄγγος χερὸς ὑπ᾽ ἀγκάλαις ἐμαῖς;
ΙΩΝ. ὁρῶ παλαιὰν ἀντίπηγ᾽ ἐν στέμμασιν.
ΠΥ. ἐν τῇδέ σ᾽ ἔλαβον νεόγονον βρέφος ποτέ.
ΙΩΝ. τί φής; ὁ μῦθος εἰσενήνεκται νέος.
ΠΥ. σιγῇ γὰρ εἶχον αὐτά· νῦν δὲ δείκνυμεν.
ΙΩΝ. πῶς οὖν ἔκρυπτες τόδε λαβοῦσ᾽ ἡμᾶς πάλαι;
ΠΥ. ὁ θεὸς ἐβούλετ᾽ ἐν δόμοις σ᾽ ἔχειν λάτριν.
ΙΩΝ. νῦν δ᾽ οὐχὶ χρῄζει; τῷ τόδε γνῶναί με χρή;
ΠΥ. πατέρα κατειπὼν τῆσδέ σ᾽ ἐκπέμπει χθονός.
ΙΩΝ. σὺ δ᾽ ἐκ κελευσμῶν ἢ πόθεν σῴζεις τάδε;
ΠΥ. ἐνθύμιόν μοι τότε τίθησι Λοξίας
ΙΩΝ. τί χρῆμα δρᾶσαι; λέγε, πέραινε σοὺς λόγους.
ΠΥ. σῶσαι τόδ᾽ εὕρημ᾽ εἰς τὸν ὄντα νῦν χρόνον.
ΙΩΝ. ἔχει δέ μοι τί κέρδος ἢ τίνα βλάβην;
ΠΥ. ἐνθάδε κέκρυπται σπάργαν᾽ οἷς ἐνῆσθα σύ.
ΙΩΝ. μητρὸς τάδ᾽ ἡμῖν ἐκφέρεις ζητήματα.
ΠΥ. ἐπεί γ᾽ ὁ δαίμων βούλεται· πάροιθε δ᾽ οὔ.

---

1327. δ᾽] Hermannus, γ᾽ libri. 1333. καθαρός] Porsonus, καθαρῶς libri. 1337. ἄγγος] Musurus, ἄγκος libri. 1343. ὁ θεός B ὁ θεός σ᾽ C σ᾽] addidit Nauckius. 1347. τόδε τε B τότε C (τόδε) 1348. δρᾶσαι] Musgravius, δράσειν libri. 1351. σπάργαν᾽ οἷς ἐνῆσθα σύ] Reiskius, σπαργάνοισιν οἶσθα σύ libri.